10/12/2023

Το Αποστολικό Ανάγνωσμα της Κυριακής Ι’ Λουκά

/ Ορθόδοξες Προβολές

Το Αποστολικό Ανάγνωσμα Κυριακής Ι’ Λουκά 10-12-2023 (Εφεσ. στ’ 10-17)

Αδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ

Απόδοση σε νεοελληνική το Αποστολικό Ανάγνωσμα Κυριακής Ι’ Λουκά

Αδελφοί μου, πάρτε δύναμη ἀπὸ τὴν ἕνωσή σας μὲ τὸν Κύριο κι ἀπὸ τὴ μεγάλη του ἰσχύ. Ντυθεῖτε μὲ τὴν πανοπλία ποὺ δίνει ὁ Θεός, γιὰ νὰ μπορέσετε ν΄ ἀντιμετωπίσετε τὰ τεχνάσματα τοῦ διαβόλου. Γιατί δὲν ἔχουμε νὰ παλέψουμε μὲ ἀνθρώπους ἀλλὰ μὲ ἀρχὲς καὶ ἐξουσίες, δηλαδὴ μὲ τοὺς κυρίαρχους τοῦ σκοτεινοῦ τούτου κόσμου, τὰ πονηρὰ πνεύματα ποὺ βρίσκονται ἀνάμεσα στὴ γῆ καὶ στὸν οὐρανό.

Γι΄ αὐτὸ φορέστε τὴν πανοπλία τοῦ Θεοῦ, ὥστε νὰ μπορέσετε νὰ προβάλετε ἀντίσταση, ὅταν ἔρθει ἡ ὥρα τῆς σατανικῆς ἐπίθεσης. Λάβετε κάθε ἀπαραίτητο μέτρο γιὰ νὰ μείνετε ὡς τὸ τέλος σταθεροὶ στὶς θέσεις σας. Σταθεῖτε, λοιπόν, σὲ θέση μάχης· ζωστεῖτε τὴν ἀλήθεια σὰν ζώνη στὴ μέση σας· φορέστε σὰν θώρακα τὴ δικαιοσύνη. Γιὰ ὑποδήματα στὰ πόδια σας βάλτε τὴν ἑτοιμότητα νὰ διακηρύξετε τὸ χαρούμενο ἄγγελμα τῆς εἰρήνης. Ἐκτὸς ἀπ΄ ὅλα αὐτά, κρατᾶτε πάντα τὴν πίστη σας ἀσπίδα, πάνω στὴν ὁποία θὰ μπορέσετε νὰ σβήσετε τὰ φλογισμένα βέλη τοῦ πονηροῦ. Ἡ σωτηρία ἂς εἶναι περικεφαλαία σας, καὶ ὁ λόγος τοῦ Θεοῦ ἡ μάχαιρα πού σᾶς δίνει τὸ Πνεῦμα.